ἀναθεωρῶν ἄνω βλέπων
ἀναθρώσκω ἀναπηδῶν ἀναβάλλομαι.
ἀναίδεια. ἀναισχυντία.
ἀναιδής ἀναίσχυντος.
ἀναιδῶν. ἀναισχύντως φανερῶς
ἀναιμωτὶ ἄνευ αἵματος καὶ πολέμου
ἀναίμονας αἷμα μὴ ἔχοντας.
66. ἀναίνομαι παραιτοῦμαι ἀρνοῦμαι. (ν.)
ἄναιτα χῶρα. ἀνυπεύθυνον (ἀναίτιος βάσανον)
ἀναξίωτον ἀνάξιον.
ἀναιρεῖν. ἀναιρεῖσθαι ἄν.
ἀναίρεσις φόνος.
ἀναιρετικὸν κοινοποιὸν πονηρόν.
ἀναίσθητος ἀναιδής, ἀπαίδευτος.
ἀνάκτου παλατίου.
ἀνάκτορον ἱερατεῖον, βασίλειον.
ἀνακτῶς. βασιλικῶς
ἀνακεφαλαίωσις ἡ ἐξ ἀρχῆς ἔρευνα.
ἀνακωχὴ ἡ ἀπὸ πολέμου μικρὰ ἀνάπαυσις
ἀνάκρασις ἀνάμιξις.
ἀνακρίνας ἀνεξετάσας.
ἀνακλᾶται. ἀναλαμβάνει.
ἀνακομιδῆ ἀναγωγή ἐπάνοδος.
ἀνακρίνεται ἐλέγχεται. συμβιβάζεται.
ἀνακηκοί ἀνορθοῖ.
ἀνακογχυλιάσαι ἀναγαργαρίσαι.
ἀνακαγχάσας. σφόδρως γελῶν.
67. ἀνακῶς ἐπιμελῶς περισσὸν φυλακῶς.
ἀνακάμψας ἀποστρέψας.
ἀνακτότερον, ἐλαφρότερον ὑπομονητικώτερον.
ἀνεκομβαλιάζω ἐγκομβοῦν.
ἀνεκίκηεν ἀνεδίδου. ἀνώφερεν. ἀνεπήδα.
ἀνακτήσατο ἀνέπλασεν.
ἀνάλγητος ἄλυπος ἀπαθὴς ἄπονος.
ἀναλκὴς ἀδύνατος
ἀναλκεῖς ἀσθενεῖς, ἀδύνατοι.
ἀνάληψις ἡ ἀναβολὴ ἀλλαγῆς εὕρεσις.
ἀναλεχθέντας ἀναχθέντας συναχθέντας.
ἀναλογία συμμετρία.
ἀναμέλψαι ἀνυμνῆσαι ᾆσαι
ἀναλίσκει δαπανᾷ.
ἀναλογάδην κατ' ἀναλογίαν.
ἀναλύειν ἀναστρέφειν.
ἀναλλοίωτον ἄτρεπτον μὴ ἀλλοιούμενον ὅ ἐστιν ἄλλο ἐξ ἄλλου γινόμενον
ἀναλόγως ὁμοίως.
ἀναμαίειν ἀναβλέπειν.
ἀναμίξ. μεμιγμένος.
68. ἀναμιξαμένη ἀνακεράσασα
ἀναμέλποντας ἀνυμνοῦντας
ἀναμαστεύεσθε. ἀναφορᾷ. ἀντιποιεῖσθαι. μιμεῖ.
ἀναμφίλλητον φιλονίκητον ἀμίμητον
ἀναμιμνήσκων. ὑπομιμνήσκων.

ἀναμυκτηρισάμενος χλευασάμενος.
ἀνανήξασθαι. ἀνακολυμβῆσαι
ἄνανδρος φαῦλος ἀσθενής
ἀνανεῶσαι, παραιτῆσαι
ἀνανδεῦ ἄνωθεν
ἄναξ μέδων. βασιλεύς
ἀναξυρίδας. βαρβαρικὰ ἐνδύματα τῶν ποδῶν
ἀνάξιον ἀπρεπές
ἀνάπαυλα ἀνάπαυσις.
ἀναπόδεκτος φυγεῖν μὴ δυνάμενος.
ἀναπεμπάζει ἀναπέμπει ἀναλέγεται.
ἀναπεπταμένη ἀναπλωθεῖσα
ἀνάπηρος τυφλός
ἀνάπαλιν ἐκ τοῦ ἐναντίου πάλιν
ἀναπάλλων ἀνακινούμενος.
69. ἀναπεπωκώσης ἀμελήσας
ἀναπλήσας ἀναπληρώσας (πλῆσις)
ἀνάπτυξις ἑρμηνεία ἀναπόλησις. πλῆσις.
ἀναπτερῶν ἀναπέμπων πτερωθῆναι.
ἀναπηγάζειν ἀναδίδοσιν ἀνομβρεῖν.
ἀνάρρησις στέφανος ἀνακήρυξις.
ἀνάρρυσις ἡ ἀληθεία.
ἀναρριπίζειν κινεῖν ἀνεγείρειν
ἀναρροιβδεῖν ἀναρροφεῖν.
ἀναρρεῖσθαι ἀναδίδοσθαι τὸ ὕδωρ.
ἄναντες ἀνωφερές
ἀναρρῆξαι ἀποχῦσαι.
ἀναρρυσῆς ἐν ᾧ ὁ οἶνος ἀκμάζει.
ἀνάρτησιν κρέμασιν
ἀναρτούμενος κρεμάμενον.
ἀνασηκωθῆς τεθεὶς ἀναπηχθῆς (πλ.
ἀνασειράζων ἀνακρούων ἀνακόπτων
ἀνάσσειν βασιλεύειν
ἀνάσσαν βασίλισσα βασιλεῦ
ἀνάστατος αἰχμάλωτος, πορθήτης.
70. ἀναστῆσαι ἀναπηδῆσαι
ἀνασφήλας ἀνανήψας ἀναστήσας ἢ ἀναλαβών
ἀναστροφὴ πολιτεία. διαγωγή. bene habet.
ἀνατλάς ὁ ὑπομείνας.
ἀνατέταλκεν ἀνέτειλεν.
ἀνατιμάζων κωλύων
ἀνατιναγμὸς μετάστασις μετακίνησις.
ἄναυδος ἄφωνος ἄπνους ἄλαλος.
ἀναφορὰ ὁλοκαύτωσις
ἀναφὴς ἀψηλάφητος
ἀναφήνας φανερώσας
ἀναφοιτῆσαι ἀνελθεῖν
ἀναφευγέτω πάλιν φευγέτω. (ω)